Ιατρικῆς τιμῶντες, τὸν ὑπὸ μεσημβρίαν ὕπνον ὑφέρποντ' ἀποσειόμεθα, σχολαίῳ δὲ ποδὶ ὑπὸ τὸν πλησίον ἄπιμεν δαφνῶνα, ὑπότ' ἀμφιλαφεῖ σκιᾷ, κατακλιθέντες ἐπ' αὐτῇ τῇ πόᾳ, ὕλην προσηνῶν λόγων θηρώμεθα. ἀλλ' ὁ Κορνήλιος τὴν περὶ τῶν Ὀθωμανῶν ἀφήγησιν, ἣν καθ' ὁδὸν ἐνεστησάμην τῇ τοῦ Ἰακώβου διαλυθεῖσαν ξυντυχίᾳ, λιπαρῶς ἐγκείμενος ἀπαιτεῖ, καὶ ὀκνοῦντά με πρὸς τὴν διήγησιν ὀτρύνει.

Οὐκοῦν ἀναλαβὼν ἐγὼ τὸν λόγον, λέληθέ σε ἔφην, ὦ ἑταῖρε, ὅσον δυσχερὲς καὶ ἀπόκρημνον ἀνδρὶ τοῦ πολιτεύεσθαι ἤδη πεπαυμένῳ, κἂν ἐπιπολαίως ἐφάψετο πολιτικῶν πραγμάτων ἀφηγήσεως; τὸ δὲ καὶ τοῦ βάθους κατατολμᾷν οὐ μόνον δυσέφικτον, ἀλλ' οὐδ' ἔξω δέους.

Εἰ δὲ φαίνεται τὴν μεταξὺ φίλων ὁμιλίαν ἔξω τελεῖν κινδύνου, ἀλλ' ἐκεῖνό γε οὐ λέληθε τὴν ἡμετέραν ἀγχίνοιαν, ὡς τῇ μακρᾷ τοῦ χρόνου προόδῳ ἥτε πρὸς τὰ ἔξω, καὶ ἡ πρὸς ἑαυτὰς τῶν βασιλειῶν κατάστασις, πολ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

λὰς εἴωθε λαμβάνειν μεταβολὰς, ϗ χαλεπὴν παρασκευάζειν τὴν κρίσιν. ὡς ἐν κεφαλαίῳ ἄρ᾽ εἰπεῖν, ἡ τῶν Ὀθωμανῶν βασιλεία πρὸς τὰς γειτνιαζούσας τῶν Χριστιανῶν ἀρχὰς, οὕτω πως ἔχει τογε συνέχον· τῶν μὲν Οὐενετῶν ϗ Πολωνῶν ὀλιγωρεῖ, τοὺς δὲ Μόσχους μισεῖ, Γάλλους δὲ ϗ Βρεττανοὺς, ϗ Βέλγας ἀγαπᾷ, τοὺς δὲ Γερμανοὺς γενναίους ἄνδρας καλεῖ. Περὶ δὲ τὴν τοῦ κρείττονος λατρείαν οὕτω πως διάκειται τὸ τούτων φῦλον, ὥστε παντὶ μὲν ἐξεῖναι τιμᾷν, ἣν ἅμα τῷ μητρῴῳ γάλακτι μονονουχὶ σπασάμενος ἔτυχε θρησκείαν. τὸν δ᾽ ἐν τῇ αὐτῶν θρησκείᾳ φῦντα, ἢ ἄλλως πως αὐτὴν ἡρημένον, εἰ φωράσαιεν εἰς ἑτέραν μεταβεβηκότα, θάνατον αὐτῷ ἐπάγουσι ζημίαν. ϗ πάλαι μὲν ὁποιονοῦν Χριστιανῶν ἔθνος εἰ βουληθείη τὸ πατρῷον καταλιπὸν, εἰς ἄλλο βεβαιότερον αὐτῷ δόξαν μεταβῆναι σέβας, μηδαμῶς ἐκόλαζον, ἅτε ὁτιοῦν τὸ παρὰ ἴδιον δόγμα πόῤῥω ἀληθείας οἰόμενοι εἶναι· χρόνου δὲ προϊόντος, ὁπηνίκα ἀπὸ τῆς Ἰσπανίας ἀπελαθέντες συχνοί τινες περὶ τὴν Ὀθωμανικὴν λῆξιν

τὰς καλιὰς ἐπήξαντο, τῆς πρὸς Ἰσπανῶν ὕβρεως ϗ ἀπηνείας ὁποιονοῦν Χριστιανῶν φῦλον δίκας εἰσπραξόμενοι, ἐς μείζονα διηρέθησαν ἀπέχθειαν τοὺς Ὀθωμανοὺς, οἵγε τὸ πρὶν τῇ ἀπὸ τῆς φύσεως ἀυστηρότητι, τῇ ἀνδρείας ἐχούσῃ ῥῦμα ἀγαπῶντες, ἐνίοτ' ἐπικλωμένης εἰς τὸ ὁμογενὲς τῆς ψυχῆς συγγεκραμένην ἐπεδείκνυντο τὴν σκληρότητα οὐκ ἀμυδρᾷ φιλανθρωπίᾳ μετέπειτα δὲ διηρεθισμένοι. ϗ ἐκ τῆς πρὸς Θεὸν λατρείας τῷ πολιτικῷ, ϗ αὐτοὶ συστήματι συνοίσοντας λόγους πορίζόμενοι, ἔνιοι αἱ τῶν ἐφ ὁποιαοῦν προφάσει ἐπιπηδᾷν ἤρξαντ τοῖς Χριστοῦ λάτραις, λογιζέσθω δὴ ϗ τοῦτο καρπὸς τῶν περὶ τὴν ἔρευναν τῆς συνειδήσεως συγκροτουμένων δικαστηρίων· τῆς δὲ τοιαύτης ἀπηνείας πλεῖον τῶν ἄλλων κατά γε τὸν παρόντα χρόνον ἐπειράθησαν οἱ Ἀρμένιοι καλούμενοι, νοσοῦντες γὰρ τὰ Νεστορίου, μᾶλλον δ' ἀγνοίᾳ τοῦ κρείττονος, ἢ μοχθηρίᾳ προαιρέσεως τῇ τοιαύτῃ αἱρέσει κατα[illegible]μενοι, ἐπειδήπερ ἐνέτυχον τοῖς ἀπὸ τῆς ἑταιρείας τῷ ὄντι σοφοῖς ἀνδράσι, παντίς τε καταπολ-

πᾶσι κινδύνου, οἱ Ἀρμένιοι, οἵγε πλείους ἀναπεπταμέναις ἀγκάλαις ἁρπάζουσι τὰ τῆς διδασκαλίας σπέρματα, ἃ σχεδὸν ὅλῳ τῷ γένει μεταδιδόντες τὴν προτέραν ἀποτίθενται δόξαν· περιπύστου δὲ γενομένου τοῦ πράγματος, οἱ Ὀθωμανοὶ δεδιότες μήπου τὸ ἑνιαῖον τῆς θρησκείας ἀποστασίαν τέξηται τῇ προόδῳ τοῦ χρόνου, τοὺς μὲν Ἰησουΐτας μεγάλαις ἀπειλαῖς ἀπείργειν πειρῶνται τοῦ ἐγχειρήματος, τῶν δὲ Ἀρμενίων οὐκ ὀλίγους μυρίαις αἰκίαις, ἐνίους δὲ ϗ ξίφει τιμωροῦνται.

Ἀκούσας δὲ ὁ Κορνήλιος τούτων τῶν λόγων, βαθὺ στενάξας, δακρύων ἐνέπλησε τὰ ὄμματα, ϗ παντοῖος τὸ πρόσωπον γενόμενος, ἐδήλου πάνυ τεταράχθαι τὴν ψυχήν. παυσάμενος δὴ κἀγὼ τοῦ λέγειν, ϗ ὑπὸ περιεργίας ἐρεθιζόμενος, ϗ λιπαρῶς ἤδη ἐγκείμενος, ἄνευ προσωπείου ϗ καλύμματος τὴν κατ᾽ αὐτὸν τὴν ἀφήγησιν ἀπήτουν. ὁ δὲ κατ᾽ ἀρχὰς ἀνανεύων μόλις ἐνέδωκε λιπαροῦντι, ϗ μετὰ πολλῆς σοβαρότητος προοιμιαζόμενος, τῶν παθημάτων ἔφη, τὴν ἀφήγησιν, φέρειν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ της Κ.τ. Π ΙΩΑΝΝΙΝΑ 2005

μὲν ἐνίοτε τῇ ἀναμνήσει ἡδονὴν τῷ πεπονθότι· ἀλλ' ἐπειδὰν ὁ πεπειραμένος ὅπω πέπαυται τοῦ πάσχειν, οὐδὲ τοῦ λυπεῖσθαι πέπαυται ἀναμιμνησκόμενος καὶ ὧν ἐς πεῖραν φθὰς ἐλήλυθε. Οὐκοῦν δεδιὼς φησι μὴ ἑαυτῷ τε καὶ τοῖς ἀκούουσιν οὖμενουν ψυχαγωγίαν, ἀλλὰ ἀθυμίαν παρασκευάσῃ, τὴν ἀπήνειαν τῆς κατ' αὐτὸν τύχης διαζωγραφῶν, ἄσμενος ἂν σιωπὴν ἐνστερνίσαιτο· τῶν τοιούτων δὲ λόγων ὑπέκκαυμα φιληκοΐας γενομένων, ἀπαραιτήτως δ' ἡμῶν ἀπαιτούντων ἀμοιβαίους, μάλιστα δὲ τῶν ἡμετέρων ἀκριβεστέρους μὴ δυνάμενος τὰς ἀρκυς διαδιδράναι πάλιν ἀρξάμενος, ἦδ' ὃς ὁ Κορνήλιος.

Πατρὶς μὲν ἐμοὶ Κύπρος, γονεῖς δὲ γεγόνασιν εὐγενεῖς, ἀπηνεστάτης μέντοι γε πεπειραμένοι τύχης. πρὸ τεσσαράκοντα γὰρ ἐτῶν τέτρωνται φθόνου βέλεσι, καὶ μυρίοις περιπεσόντες δεινοῖς, οἰκίας τε καὶ ἀγροὺς καὶ ἔπιπλα πολυτελῆ, καὶ μεγάλην πλούτου περιβολὴν παρὰ τῶν κρατούντων στερηθέντες, δάκρυα πολλὰ σπείσαντες ἐπὶ τῷ τῆς πατρί-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

δος ἐδάφει, ϗ νηὸς ἐπιβάντες φέροντες ἐν κόλποις ἐμέ τε ϗ ἀδελφὴν ἐμὴν, τῶν αὐτῶν ὠδίνων βλαστήματα, ϗ ἐλεεινὰ τῆς προτέρας τύχης λείψανα, τόπον ἐζήτουν ἀσφαλῆ, ὅπως τὸ ἐπίλοιπον παραπέμψωσι τοῦ βίου. Ἐπειδὴ δέ τις τῶν γένει προσηκόντων ἀπό τε ἀρετῆς ϗ τύχης λαμπρὸς ἐν Κερκύρᾳ τὴν οἴκησιν ἱδρύσας, ἐλπίδας αὐτοῖς ἐδίδου ῥᾳοτέρου βίου, ἐκεῖσε τὸν πλοῦν ἔγνωσαν ἀπευθῦναι. ἀλλ' ὥσπερ ἠκηκόειν ἀφηγουμένου τοῦ δυστήνου φύντος, οὐχ' ἡμῖν ἐπολέμει τὸ γλυκὺ τῆς γεννησάσης ἔδαφος, τύχη δὲ σκληροτάτη τοὺς ταλαιπώρους ἤλαυνεν, ἣ ϗ πελάγους κατατολμᾷ, ἡμῖν τε συνεπάρασα, λαίλαπας ἀνεγείρει, ὅπως καταβυθίσῃ οὓς ἅπαξ διώκειν ἐνεστήσατο. τί δὲ δεῖ μηκύνειν τὸν λόγον; ἀρκεῖ καθ' ἑαυτὰ τὰ δεινὰ ἄνευ τῆς ἔξωθεν περιβολῆς, ἐν μέσῳ πελάγει πειραταῖς περιπεπτώκασι, ϗ ἅμα ἐκείνοις μετὰ μικρὸν νεναυαγήκασιν, ἀλλ' οὐδὲν ἀπολωλέκασιν· οὐδὲν γὰρ εἶχον ὑπόλοιπον, ἤθελε δὲ μαινόμενος ὁ Ποσειδῶν τοὺς γυμνοὺς περικαλύψαι τοῖς κύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Π. της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

μασι, καὶ μόλις τῆς νηὸς τῷ ῥοθίῳ τοῦ πνεύματος, καὶ τῇ ἐπιβολῇ τῶν κυμάτων διαῤῥυείσης, ἐπί τινος σανίδος ἀπὸ τοῦ καταστρώματος ἀνασωθέντας, καὶ τοῦ πελάγους ἀφυβρίσαντος, εἰς ἑτέραν μετενεχθέντες ὁλκάδα, τὴν Κυθήρων νῆσον κατέλαβον, καὶ παρά τῳ μετρίῳ τὸ ἦθος πολίτῃ ἐπιξενωθέντες, ἀνακωχὴν διδούσης τῆς πανέργου τύχης, ἐπ' ὀλίγας ἡμέρας φιλοφροσύνης ἀπολελαύκασι. μιμεῖται γὰρ ἡ τύχη τοὺς περιοδικοὺς πυρετοὺς, οἳ διδόασιν ἐκεχειρίαν, ἵνα μετὰ βραχὺ ἀγριώτερον ἅμα καὶ σφοδρότερον προσβάλλωσιν, ἐφ' ᾧ τῇ διὰ μακροῦ χρόνου ἐκ διαλειμμάτων προσβολῇ τελέως ἐκτρίψαι τὸ πιεζόμενον σῶμα. Οὐκοῦν ὀλίγης παραμυθίας, τροφῶν, ἐνδυμάτων, καὶ ἐπὶ πᾶσιν εὐνοίας μεταλαβόντες παρὰ τῷ χρηστῷ πολίτῃ, ἀναμιμνήσκονται πάλιν Κερκύρας, καὶ πάλιν ἀπαίρουσιν. ἀλλ' αὖθις ἀντιστρατεύεται αὐτοῖς ἡ οὔπω τοι κόρον λαβοῦσα τύχη, νηΐ τε περιπεσόντες λῃστρικῇ ὑπομένουσι πολλὰ δεινὰ καὶ χαλεπὰ, καὶ τὸ τελευταῖον οἱ ἀπὸ Ἀφρικῆς πειραταὶ, οἱ ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΑΠΘ Κ.τ. II ΙΩΑΝΝΙΝΑ 2005

χερσὶν εἶχον αὐτοὺς εἰς Αἴγυπτον ἀπαγαγόντες, Χριστιανῷ τῶν αὐτοχθόνων πωλοῦσι, λαμπρῷ τὸν βίον, φιλανθρώπῳ τὸν τρόπον, καὶ ὡς εἰώθεν αὖ ἡ τύχη οἶκτον ἐπιδείκνυται. Οἱ γὰρ γεννήσαντες, καὶ τὰ νεογνὰ τέκνα μὴ διαχωρισθέντες ἀλλήλων, ὑπὸ τὸν αὐτὸν ἐτελοῦμεν δεσπότην, καὶ μετὰ πολλῆς ἀθυμίας, ἄνευ δὲ κακουχίας τὸν βίον παρεπέμπομεν. Ἀδείας δὴ ἐπιτυχὼν ὁ πατὴρ παρὰ τοῦ φιλανθρώπου δεσπότου παραδέδωκεν ἐμὲ ἐπὶ παιδείας μεταλείψει τοῖς ἐκ γειτόνων οὖσι σοφοῖς ἀπὸ Γαλλιῶν ἀνδράσι, οἱ καὶ ἱερωσύνῃ κοσμούμενοι, οὐ μόνον τῆς θύραθεν, ἀλλὰ καὶ τῆς καθ' ἡμᾶς παιδείας δαψιλῶς μεταδιδόντες μοι κατήρδευον ψυχὴν εἰς ἀρετὴν, μὴ παντάπασιν ἀφυῶς ἔχουσαν. προχωρούσης δὴ τῆς ἡλικίας, συναιρομένης τῆς φύσεως, συντρεχούσης τῆς φιλοπονίας, ἱκανὴν ἐν τῇ κυκλοπαιδείᾳ πορισάμενος δύναμιν, τῇ διδασκάλων ψήφῳ, ὅσον οὔπω ἔμελλον εἰσελθεῖν εἰς τὸ φιλοσοφίας στάδιον. ἀλλ' ἐν τούτοις ὄντι μοι πάλιν ἀλλεπάλληλα ἐνέσκηψε τὰ δεινά· ἁπτομένῳ γὰρ ἤδη

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε. Πέτσιος Κ.Τ. Π ΙΩΑΝΝΙΝΑ 2005

τοῦ ἕκτου ϗ δεκάτου τῆς ἡλικίας ἔτους, λοιμικῆς νόσου ἐπιδημησάσης ἀνὰ πᾶσαν τὴν περίχωρον, ἐν πάνυ ὀλίγαις ἡμέραις ὁ ἀπηνὴς ἁρπάζει μοι Χάρων μητέρα τε ϗ πατέρα τοὺς φιλτάτους, πρὸς δὲ ϗ τὸν φιλάνθρωπον δεσπότην. οὕτω δ' ἀφόρητος ἀπήντηκε τῇ τε ἀδελφῇ κἀμοὶ ἡ ἀθρόον ἐπεισφρήσασα δυσκληρία, ὥστε μηδεμίαν εὑρίσκεσθαι παραμυθίαν, μεμνημένους ὁπόσα ἐξ αὐτῶν τῶν μητρικῶν ὠδίνων ἐπεπόνθειμεν, ἐν ὑπερορίαις, ἐν ναυαγίοις, ἐν αἰχμαλωσίαις πικρότατον βόσκοντες βίον, τῇ τε τῶν παρελθόντων ἀναμνήσει, ϗ τῶν παρόντων ἀνιαρῶν τῇ πείρᾳ κεντούμενοι, στεναγμοῖς σπαράττοντες τὸ στῆθος, δάκρυσιν ὑποβρύχιοι γιγνόμενοι, παρ' ὀλίγον λύπης ὑπερβολῇ ϗ τοῦ ζῆν ἀπετετμήμεθα, τῆς τ' ἀδελφῆς ἡ παρουσία διπλῆν ἐμοὶ παρεσκεύαζεν ὀδύνην. ἐπειδὴ κάλλει διαλάμπουσα, ϗ χρηστοτάτοις ἤθεσι κοσμουμένη, οὐ μόνον ἐμὲ τὸν ἀπὸ φύσεως εἰς ἀγάπην ἀναφλεγόμενον, ἀλλὰ ϗ πάντας τοὺς ὁρῶντας εἰς οἶκτον ἐξεκαλεῖτο. μία δὲ ϗ μόνη ἡμῖν ἀνεφάνη παραμυθία, ἣ μετ'

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

οὐ πολὺ ἄπλετον ἐμοί γ' ἐναπέτεκε πικρίαν, ἡ τῆς ἐμῆς δεσποίνης δαψιλὴς φιλοφροσύνη. βουλομένη γὰρ παραμυθήσασθαι πρόσφατον χηρείαν, ἐπειδὴ πολὺν ἔχουσα πλοῦτον ἅμα νεότητι ϗ κάλλει οὐκ εἶχε φέρειν τὴν ἐρημίαν, κατ' ἀρχὰς μὲν ἐξαίρετον ῥοπὴν ἐπιδείκνυται ϗ κλίσιν πρὸς ἀμφοτέρους, μετ' οὐ πολὺ δὲ ἐμοὶ τῷ δυσήνῳ προσβάλλει περιέργους ὀφθαλμοὺς, ἐλπίζουσα πειθήνιον ἕξειν τοῖς αὐτῆς νεύμασι, προλαβὼν δ' Ἔρως ἱδρύσατο ἐν τῇ ἐμῇ καρδίᾳ ἕτερον ἄγαλμα, δοκιμάζων δ' ἴσως τὸ σεῤῥὸν τῆς ἐμῆς γνώμης ἀνεῤῥίπισε κατ' ἐμοῦ ϗ τῆς δεσποίνης τὴν ψυχήν.

Ἐν τούτῳ δὲ τοῦ λόγου γενόμενος ϗ γοερὸν στενάξας ὁ Κορνήλιος, ἀντιβολῶ, φησὶ, ϗ ποτνιῶμαι τὴν ὑμετέραν φιλανθρωπίαν τὸ ἀποτοῦδε συγγνώμης μεταδοῦναί μοι, ϗ ξυγχωρῆσαι σιωπᾶν, ἢ μηδαμῶς μέμψασθαι παθαινομένῃ ψυχῇ. οὔπω δ' αὐτοῦ πεπαυμένου τοῦ λέγειν, ἀκούομεν θόρυβον πολὺν περὶ τὸν κῆπον, ϗ ὁρῶμεν αὐτίκα ἐνίους Ὀθωμανοὺς πολλῇ τῇ ἰταμότητι διαθέοντας ἔνθεν ϗ ἔνθεν, ϗ πᾶν μέρος ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

γερευνωμένους. Φθάσαντες δὲ ϗ εἰς τὸν δαφνῶνα, ἐν ᾧ κατακλιθέντες διελεγόμεθα, ϗ ἐπ' ὀλίγον περιεργασάμενοι ἕκαστον ἡμῶν, ἐπιβάλλωσι τῷ Κορνηλίῳ τὰς χεῖρας, ϗ πολλὰ ποτνιώμενον ἀπάγουσιν ἐκ τοῦ παραχρῆμα εἰς δεσμωτήριον δι' αἰτίαν, ἣν ἐς ὕστερον δηλώσομεν. Ὁ δ' ἡμέτερος ἑστιάτωρ πάνυ δυσχεραίνων ἐπὶ τοῖς πραττομένοις, ϗ θυμῷ ζέων, λόγοις δάκνουσι καθάπτεται τῶν προπηλακισάντων, ϗ ἐμπεπαρῳνηκότων, ἅτε καταπατησάντων χωρίον, ὃ πολλοῖς τῶν μεγιστάνων ἐς ψυχαγωγίαν ἀνεῖτο. ἐκεῖνοι δὲ βασιλικὸν προτείνοντες ἔγγραφον ἐφιὲν τὴν εἰς ὁποιονοῦν τόπον εἴσοδον ἐπὶ συλλήψει τοῦ διωκομένου, ἀφοσιοῦνται τὴν τόλμαν.

Οὐκοῦν ἔκθαμβοι ϗ ἐννεοὶ γενόμενοι ἐπὶ τῷ ἀπροσδοκήτῳ τοῦ συμβάντος, ἐζητοῦμεν εὑρεῖν τοὺς ἄλλους τῶν δαιτυμόνων, ἀλλὰ τὼ μὲν τοῦ Κορνηλίου θιασώτα ἴσως ὑποφερομένω τὴν συμβᾶσαν ἀτυχίαν διὰ τοῦ φραγμοῦ εἰς τὸν πλησίον στενωπὸν ἐκπηδήσαντε, διαδεδράκατον τὸν ἐπικείμενον κίνδυνον, ϗ οἱ ἐμοὶ δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Υ.Δ. της Κ.Τ. ΙΩΑΝΝΙΝΑ 2005

θιασῶται καταπτηχότες τὸ αἰφνίδιον τοῦ πράγ-
ματος, διὰ τῆς αὐτῆς ὁδοῦ ᾤχοντο ϗ αὐτοὶ
διαῤῥυέντες. ἡμῶν ἄρα μόνων καταλελειμμέ-
νων, ϗ ἑαυτοὺς ἀναλαβόντων, καίτοιγε πά-
νυ ἀδημονῶν ϗ ἀσχάλλων ὁ Ἰάκωβος. ἀλλ'
ἐπειδὴ ὡς αὐτὸς ἔλεγεν, εὐγενεῖ τῳ πρὸ οὐ
πολλῶν ἡμερῶν ἀπὸ Ἰταλίας κατὰ περιήγη-
σιν εἰς Κωνςαντινούπολιν ἐπιδεδημηκότι, ϗ ἐν
τῷ ἀντιπέραν τῆς πόλεως διατρίβοντι ὑπε-
σχημένος ἦν κατ' ἐκείνην τὴ ἡμέραν παρ' αὐ-
τὸν φοιτῆσαι, ϗ παραλαβὼν ἀνὰ τὴν πόλιν
ξεναγῆσαι, οὐκ ἀθετεῖ τὴν ὑπόσχεσιν. ἀμφό-
τεροι δὴ πάνυ ἄσμενοι ἤδη ἀμφὶ βουλυτὸν εἰς
τὸν πλησίον αἰγιαλὸν κατελθόντες, δίκωπον
ἀκάτιον ἐπιβαίνομεν, ὁ δὲ πορθμεὺς γερόντι-
ον ἀςεῖον ἦν, ϗ δὴ φοροῦ ἀνέμου πνέοντος, ἀ-
ναπετάννυσι τὸ ἱςίον, ταχυτάτῃ τε πτήσει τοῦ
ἀκατίου φερομένου, οὐκ ἐρωτηθεὶς, ἤρξατο ἡμῖν
ἀφηγεῖσθαι τὰ κατ' αὐτόν. Ἀγαπῶ, φησι, τῇ
παρούσῃ τύχῃ· οὐ δὲ γὰρ πολλὰ κέκτημαι,
οὔτε πένομαι, οἰκίαν ἔχω μικρὰν παρὰ τὸν
αἰγιαλὸν κειμένην, ϗ μικρῷ κήπῳ περιςοι-

χιζομένην, ἣν ὑπὸ πυρκαϊᾶς δὴ ἀποτεφρωθεῖσαν
ἱδρῶτι προσώπου, πάλιν ἀνῳκοδομησάμην εἰς
κρείττονα θέσιν ἀνασκευασάμενος. μετὰ δὲ τὴν
τελευταίαν οἰκοδομὴν παραλελήθασι περίπου τὰ
δέκα ἔτη, ἤδη δ' ὀγδοηκοντούτης ὢν ἐλπίζω ἀνέ-
παφον παραμεῖναι μέχρι τέρματος βίου; καὶ μά-
λιστα τῶν παρακειμένων τοπρὶν λαμπρῶν οἰ-
κιῶν ἢ τῶν κυρίων παρὰ τὸ πολυδάπανον οὐκ
ἐξισχυόντων, ἢ διὰ τὸ ἐνίας αὐτῶν εἰς τοὺς δη-
μοσίους περιπεσεῖν λόγους μήπω ἀνῳκοδομημέ-
νων, μόνου δὲ τοῦ ἐμοῦ οἰκίσκου ἐν μέσῳ κατα-
λελειμμένου, οὐκ ἔστι φοβεῖσθαι τὸν ἀπὸ τοῦ πυ-
ρὸς κίνδυνον. ἐκ νέου πολλὰς γυναῖκας ἀγα-
γὼν τριάκοντα τέκνων πατὴρ ἐγεγόνειν, ὑπὸ
δὲ τοῦ ἐπιχωριάζοντος λοιμοῦ ἀπέβαλον καὶ τὰ
τέκνα καὶ τὰς γυναῖκας, ἀλλ' οὕτω δόξαν τῇ
θείᾳ προνοίᾳ μηδαμῶς δυσχεραίνω, γεγηθότι
δὲ προσώπῳ ὑποκλίνω τὸν αὐχένα τοῖς ἐκεῖ-
θεν ἥκουσιν ἐπιτάγμασιν· ἵνα δὲ ἐφ' ὅσον ζῶ
μὴ ἀποκάμω ἀποπληρῶν τὰ τῶν ζώντων κα-
θήκοντα, πρὸ ἑνὸς μηνὸς αὖθις ἠγαγόμην
ἰδιώτου τῶν ἐμοὶ συνήθων θυγάτριον, προῖκα

φέρον τὸ ἐν κάλλει τῆς ἡλικίας ἄνθουν, ϗ εἰς οἰκονομίαν καλῶς ἠσκημένον, εὐπειθὲς, εὐόμιλον, προθύμως ἐξυπηρετούμενον, ϗ λιπαρῶς θεραπεῦον γῆρας τοὐμὸν, ὥςε πολλοὺς τῶν πλούτῳ κομώντων νέων δικαίως ἂν φθονῆσαι τῇ ἐμῇ τύχῃ, οὐδ' αὐτὸς δ' ἐγὼ τοῦ ἐπιβάλλοντος ἀμελῶ, ἀμοιβαίως δ' ἀποπληρῶ τὰ ἀνδρὶ προσήκοντα, οὐδ' ἐμποδὼν γίγνεται τὸ γῆρας. πάνυ γὰρ ἀσφαλῶς ϗ ςεῤῥῶς ἔχει μοι τὸ σῶμα. οὐδὲ γὰρ μέμνημαι, ἢ μὴ ἅπαξ πρὸ τεσσαράκοντά που ἐτῶν ἐπὶ δέκα ϗ μόνας ἡμέρας διαλείποντι παλαῖσαι πυρετῷ, παρά του δὲ τῶν γονέων μεμβράνης τεμάχιον λαβὼν, ἐν ᾧ μυςηριώδη ἐνεκεχάρακτο γράμματα, ϗ ἐξάψας τοῦ τραχήλου, ἐκ τοῦ παραχρῆμα ἀπελυτρώθην τοῦ πυρετοῦ. πολλοὶ δὲ τῶν πρoύχόντων ἐπιβαίνουσιν ἀσμένως εἰς τουτὶ τὸ πορθμεῖον τῇ ὁμιλίᾳ καρπούμενοι, ϗ οἰόμενοι ζωογονητικούς τινας ἀτμοὺς ἀπ' ἐμοῦ ἅτε γεγηρακότος ἀναδίδοσθαι. οὐδεμίαν δ' ἀνακωχὴν παρέχον ἑαυτῷ τὸ λάλον γερόντιον, ἀλλὰ λόγους λόγοις ἐπιπλέκον, εἰδέναι ἔλεγε τὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

τῶν γραμμάτων στοιχεῖα ὅσον ἐπιέναι δύνασθαι τὰ εἰς ὕμνον τοῦ θείου τείνοντα. τὴν γὰρ περαιτέρω παιδείαν ζημίας εἶναι πρόξενον εἰς ἀσέβειαν ὑποσύρουσαν. Πεντάκις τῆς ἡμέρας ἀποσοματίζειν ἔφη τὰς ἐπίμους προσευχὰς, καὶ τρὶς ἑκάστης ἑβδομάδος ἄγειν σχολὴν, καὶ οὐ μόνην τὴν τῆς Ἀφροδίτης ἡμέραν τιμᾷν, ἀλλὰ καὶ τὴν Κρόνου, καὶ τὴν Ἡλίου, τῆς ἰδίας ἀσφαλείας πρόνοιαν δῆθεν ποιούμενον. τίς γὰρ ἀκριβῶς οἶδεν, ἔφη, ὁποίᾳ λατρείας ἰδέᾳ ἀρέσκεται τὸ Θεῖον;

Ἀμέλει τοῦ ἁπλοϊκοῦ γέροντος ἀπνευστὶ ἡμῖν διιόντος τὰ κατ' αὐτὸν, καταλαμβάνομεν τὸν ἀντίπεραν αἰγιαλὸν, καὶ δαψιλῶς ἀντιδόντες τὰ πορθμεῖα, πολλαῖς τ' ἐπευχαῖς ἐφοδιασθέντες παρ' αὐτοῦ, πρόσω χωροῦμεν. Ἀφικόμενοι δ' εἰς τὴν οἰκίαν, ἐν ᾗ εὐγενὴς Ἰταλὸς διέτριβεν, ἕνα μόνον τῶν αὐτοῦ δούλων εὕρομεν, ὃς ἐδήλωσε τῷ Ἰακώβῳ ἀπεληλυθέναι τὸν αὐτοῦ δεσπότην παρά τῳ ἐλλογίμῳ καὶ πλουσίῳ Γραικῷ, ἐπειπὼν καὶ τὸ ἐκείνου ὄνομα, παρ' ᾧ ἔμελλε καὶ τὴν ἐπιοῦσαν παρα-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005